στήτω ἐκ δεξιῶν αὐτοῦ. Ἐν τῷ κρίνεσθαι αὐτὸν, ἐξέλθοι
καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρ-
τίαν. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκο-
πὴν αὐτοῦ λάβοι ἕτερος. Γενηθήτωσαν οἱ Υἱοὶ αὐτοῦ ὀρφα-
νοὶ, καὶ ἡ γυνὴ αὐτοῦ χήρα. Σαλευόμενοι μεταναστήτωσαν
οἱ Υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν, ἐκβληθήτωσαν ἐκ τῶν οἰ-
κοπέδων αὐτῶν. Ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρ-
χει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ. Μὴ
ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ, μηδὲ γενηθήτω οἰκτίρμων τοῖς
ὀρφανοῖς αὐτοῦ. Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν.
ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ. Ἀναμνησθείη
ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου, καὶ ἡ ἁμαρτία
τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη. Γενηθήτωσαν ἐναντίον
Κυρίου διαπαντὸς, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυ-
νον αὐτῶν. Ἀνθ᾽ ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος, καὶ κατε-
δίωξεν ἄνθρωπον πένητα, καὶ πτωχὸν, καὶ κατανενυγμένον
τῇ καρδίᾳ τοῦ θανατῶσαι. Καὶ ἠγάπησε κατάραν, καὶ
ἥξει αὐτῷ, καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται
ἀπ᾽ αὐτοῦ. Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλ-
θεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ, καὶ ὡσεὶ ἔλαιον ἐν
τοῖς ὀστέοις αὐτοῦ. Γενηθήτω αὐτῷ ὡς ἱμάτιον, ὃ περι-
βάλλεται, καὶ ὡσεὶ ζώνη, ἣν διαπαντὸς περιζώννυται.
Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου, καὶ
τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου. Καὶ σὺ Κύριε
Κύριε ποίησον μετ᾽ ἐμοῦ, ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρη-
στὸν τὸ ἔλεός σου. Ῥῦσαί με, ὅτι πτωχὸς, καὶ πένης εἰμὶ
ἐγὼ, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου. Ὡσεὶ σκιὰ
ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανηρέθην, ἐξετινάχθην ὡσεὶ
ἀκρίδες. Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σὰρξ
μου ἠλλοιώθη δι᾽ ἔλαιον. Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς.
εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν. Βοήθησόν μοι Κύριε
ὁ Θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου. Καὶ γνώτωσαν,